προσοχῆς, τότε ὡς φαρμάκου τινὸς ὄντος ζωῆς τοῦ θείου φόβου αἰσθάνεται καίοντος αὐτὴν ὥσπερ τῇ ἐνεργείᾳ τῶν ἐλέγχων ἐν πυρὶ ἀπαθείας. Ὅθεν κατὰ μέρος λοιπὸν καθαριζομένη εἰς τὸ τέλειον τοῦ καθαρισμοῦ φθάνει, τοσοῦτον τῇ ἀγάπῃ προστιθεῖσα ὅσον ἐλαττοῦται τῷ φόβῳ, ἵνα οὕτως εἰς τὴν τελείαν καταφθάσῃ ἀγάπην, ἐν ᾗ φόβος, ὡς εἴρηται, οὐκ ἔστιν, ἀλλὰ πᾶσα ἀπάθεια διὰ δόξης ἐνεργουμένη θεοῦ. Ἔστω οὖν ἡμῖν εἰς καύχημα καυχημάτων ἄπαυστον πρῶτον μὲν ὁ φόβος τοῦ θεοῦ, λοιπὸν δὲ ἡ ἀγάπη τὸ πλήρωμα τοῦ νόμου τῆς ἐν Χριστῷ τελειότητος.

ιη΄.

Ψυχὴ μὴ τῶν κοσμικῶν ἀπαλλαγεῖσα φροντίδων οὔτε τὸν θεὸν ἀγαπήσει γνησίως οὔτε τὸν διάβολον βδελύξεται ἀξίως· κάλυμμα γὰρ ἅπαξ ἔχει φορτικὸν τὴν μέριμναν τοῦ βίου. Ὅθεν τὸ ἑαυτοῦ ἐπιγνῶναι ὁ νοῦς ἐπὶ τῶν τοιούτων οὐ δύναται δικαστήριον, ἵνα παρ᾿ ἑαυτῷ δοκιμάζοι ἀπλανῶς τὰς ψήφους τῆς κρίσεως. Διὰ πάντα οὖν ἡ ἀναχώρησις χρήσιμος.

ιθ΄.

Ψυχῆς καθαρᾶς ἴδιον λόγος μὲν ἄφθονος, ζῆλος δὲ ἄκακος, ἔρως δὲ ἄπαυστος τοῦ κυρίου τῆς δόξης. Τότε δὴ καὶ τὰς

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417108427/19 UNIVERSITÄT LEIPZIG